ιβ΄. Πρὸς ταῦτα δ᾽ ὁ Σωκράτης εἶπεν, ἢν ἐπίστηταί γε πωλεῖν. εἰ δὲ πωλοίη ἂν πρὸς τοῦτον, ὃς μὴ ἐπίσταιτο χρῆσθαι, οὐδὲ πωλούμενοί εἰσι χρήματα, κατά γε τὸν σὸν λόγον. λέγειν ἔοικας, ὦ Σώκρατες, ὅτι οὐδὲ τὸ ἀργύριόν ἐστι χρήματα, εἰ μήτις ἐπίσταιτο χρῆσθαι αὐτῷ.

ιγ΄. Καὶ σὺ δέ μοι δοκεῖς οὕτω συνομολογεῖν, ἀφ᾽ ὧν τις ὠφελεῖσθαι δύναιτο, χρήματα εἶναι. εἰ γοῦν τις χρῷτο τῷ ἀργυρίῳ, ὥστε πριάμενος οἷον ἑταίραν, διὰ ταύτην κάκιον μὲν τὸ σῶμα ἔχοι, κάκιον δὲ τὴν ψυχήν, κάκιον δὲ τὸν οἶκον, πῶς ἂν ἔτι τὸ ἀργύριον αὐτῷ ὠφέλιμον εἴη; οὐδαμῶς. εἰ μή γε καὶ τὸν ὑοσκύαμον καλούμενον, χρήματα εἶναι φήσομεν, ὑφ᾽ οὗ οἱ φαγόντες αὐτὸν παραπλῆγες γίνονται.

ιδ΄. Τὸ μὲν δὴ ἀργύριον, εἰ μήτις ἐπίσταιτο αὐτῷ χρῆσθαι, οὕτω πόῤῥω ἀπωθείσθω, ὦ Κριτόβουλε, ὥστε μηδὲ χρήματα εἶναι. οἱ δὲ φίλοι, ἤν τις ἐπίσταιτο αὐτοῖς χρῆσθαι ὥστε ὠφελεῖσθαι ἀπ᾽ αὐτῶν, τί φήσομεν αὐτοὺς εἶναι; χρήματα, νὴ Δί᾽, ἔφη ὁ Κριτόβουλος, καὶ πολύ γε μᾶλλον ἢ τοὺς βοῦς, ἢν ὠφελιμώτεροί γε ὦσι τῶν βοῶν.

ιε΄. Καὶ οἱ ἐχθροὶ ἄρα κατά γε τὸν σὸν λόγον, χρήματά εἰσι τῷ δυναμένῳ ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι. ἔμοιγ᾽ οὖν δοκεῖ. οἰκονόμου ἄρα ἐστὶν ἀγαθοῦ καὶ τοῖς ἐχθροῖς ἐπίστασθαι χρῆσθαι, ὥστε ὠφελεῖσθαι ἀπὸ τῶν ἐχθρῶν. ἰσχυρότατά γε. καὶ γὰρ δὴ ὁρᾷς, ἔφη ὦ Κριτόβουλε, ὅσοι μὲν δὴ οἶκοι ἰδιωτῶν εἰσιν ηὐξημένοι ἀπὸ πολέμου, ὅσοι δὲ ἀπὸ τυραννιῶν.

ιστ΄. Ἀλλὰ